ηον βιβλίον· περὶ τραχήλου· περὶ κεφαλῆς· ἢ περὶ ἐγκεφάλου :–

Ἐπεὶ δὲ τοῖς εἰρημένοις ἑξῆς ἐστὶ περὶ τῶν κατὰ τὸν τράχηλόν τε καὶ τὴν κεφαλὴν μορίων ἁπάντων διελθεῖν, ἄμεινον ἂν εἴη, πρὸ τῆς κατὰ μέρος ἐξηγήσεως, ὑπὲρ αὐτῶν ὅλων ἀποδείξασθαι τῶν μελῶν· τίνος ἕνεκα γέγονε· καὶ μάλιστα ὅτι πολλοῖς τῶν ζῴων, τοῖς μὲν οὐδέτερόν ἐστι· τοῖς δὲ ἡ κεφαλὴ μόνη· καράβοις μὲν καὶ ἀστακοῖς καὶ παγούροις, καὶ καρκίνοις οὐδέτερον· τοῖς δ' ἰχθύσιν ἅπασι κεφαλὴ μέν ἐστι· τράχηλος δ' οὐκ ἔστιν· ἀλλὰ περὶ μὲν τῆς τοῦ τραχήλου γενέσεως, οὐχ ἁπλῶς ἄν τις ἐξεύροι· φαίνεται γὰρ ἀεὶ συναπολλύμενος τῷ πνεύμονι· ταῦτ' ἄρα καὶ τοῖς ἰχθύσιν ἅπασιν οὐκ ἔστι τράχηλος· ὅτι μηδὲ πνεύμων· καὶ οἷς πνεύμων ἐστὶ ζῴοις, τούτοις πάντως καὶ τράχηλός ἐστιν· εἰ δὲ τοῦτο τῶν ἐν τραχήλῳ μορίων, ἀνθ' ὅτου γενόμενοι τὸ τῷ πνεύμονι συγγενὲς εἰ θεῖεν, εἶτ' ἐπιλεγόμενοι φαίνοιτο· τὴν ἀναγκαίαν τῆς ὅλου τοῦ τραχήλου γενέσεως αἰτίαν εἶναι μὲν· ἀλλ' ἔστιν ἐν αὐτῷ μόρια τὰ μὲν, οὐδ' ὅλως οἰκεῖα τῷ πνεύμονος οὔτε σπονδύλοι μὲν ὀπίσω καὶ μυελὸς ἐν αὐτοῖς, καὶ τινες σὺν δεσμοῖς τένοντες· ἐν ὅλῳ δὲ μύες τε πολλοὶ· καὶ νεῦρα καὶ ἀδένες·

οἰσοφάγος.

καὶ ὁ τῆς γαστρὸς στόμαχος ὃν οἰσοφάγον καλοῦσιν· τὰ δ' οἰκεῖα μέν ἐστι τῷ πνεύμονι, καθάπερ ἀρτηρίαι καὶ φλέβες· ἀλλὰ καὶ παρὰ καρδίας ἔχων αὐτὰς τί ἂν ἔτι τραχήλου δέοιτο· λοιπὸν οὖν ἔτι τὸ τῶν τραχειῶν ἀρτηριῶν γένος ἐστὶ κοινὸν τραχήλῳ καὶ πνεύμονι· τριῶν γὰρ ὄντων κατὰ τὸν πνεύμονα, φλεβὸς καὶ ἀρτηρίας λείας τε, καὶ τρίτης τῆς τραχείας· τὰ μὲν πρότερα δύο, κοινὰ καὶ τοῦ σώματος ἅπαντός ἐστιν· ὥστ' οὐκ ἂν εὕροις μόριον οὐδὲν, ᾧ μὴ καὶ τούτων ἑκάτερον ὑπάρχει· τὸ δὲ τῶν τραχειῶν ἀρτηριῶν γένος, ἐν τραχήλῳ τε καὶ πνεύμονι μόνοις ἐστί· μᾶλλον δὲ ἐν τῷ τραχήλῳ μεγίστη· πάμπολλα δ' ἐν

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
© Biblioteca Apostolica Vaticana
The Polonsky Foundation
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_251/0310